Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: nny-aa

*Τιβέριος ὁ Ῥήτωρ* · Tiberius the Rhetorician

# On Figures in Demosthenes

*Περὶ τῶν παρὰ Δημοσθένει σχημάτων*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration

**ΤΙΒΕΡΙΟΥ ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ ΔΗΜΟΣΘΕΝΕΙ ΣΧΗΜΑΤΩΝ Μέλλοντι τὴν τῶν σχημάτων θεωρίαν τῶν παρὰ Δημοσθένει κατανοεῖν, ἀνάγκη εἶναί μοι δοκεῖ πρῶτον εἰπεῖν τί τὸ σχῆμά ἐστιν.**

1 Ἔστι τοίνυν σχῆμα τὸ μὴ κατὰ φύσιν τὸν νοῦν ἐκφέρον μηδὲ ἐπ’ εὐθείας, ἀλλ’ ἐκτρέπον καὶ ἐξαλλάσσον τὴν διάνοιαν τῇ φράσει κόσμου τινὸς ἢ χρείας ἕνεκα. ὁ γὰρ χαριέστερος 〈ὅροσ〉 πλειόνων ὄντων καὶ ἄλλων οὗτος καὶ ἐν λέξεσί μοι φαίνεται ... ὥσπερ ἀμέλει καὶ λέξεως σχῆμά ἐστιν ἐξαλλαγὴ τοῦ ἐν ἔθει, κατά τινα πλάσιν κόσμον ἢ χρείαν τινὰ τοῖς λόγοις παρέχουσα. Ὁ μὲν οὖν σαφέστερος ὅρος τοῦ τῆς λέξεως σχήματος οὗτός ἐστι· δοκεῖ δέ πως συνῆφθαι κατὰ τὸ πρῶτον μόριον τῷ τοῦ σολοικισμοῦ ὅρῳ, εἶτα κατὰ τὸ τελευταῖον μέρος διεστηκέναι. καὶ γὰρ ὁ σολοικισμὸς ἐξαλλαγὴ τοῦ ἐν ἔθει ἐστίν, ἀλλ’ οὔτε χρείας ἕνεκα, οὔτε κόσμου τινὸς χάριν γίνεται. Πλείονος δὲ οὔσης θεωρίας τῆς ἐν τοῖς σχήμασι, ταῦτα προῃρήμεθα νῦν ἐξετάσαι, ὅσα παρὰ Δημοσθένει κατενοήσαμεν. Πρῶτον οὖν τὰ τῆς διανοίας σχήματα δεικτέον, ἐπεὶ τὸν νοῦν παντὸς λόγου δεῖ προηγεῖσθαι.

2 Ἔστι δὲ ταῦτα· εἰρωνεία, ἐπιτίμησις, παράλειψις, διαπόρησις, ἀποστροφή, προδιόρθωσις, ἐπιδιόρθωσις, ἀποσιώπησις, ἠθοποιΐα, προσώπου ὑποβολή, πυσματικόν, ἔμφασις, ἀπὸ τοῦ ἀντικειμένου, παρὰ προσδοκίαν, αὐτοσχέδιον, ἀντίθετον, διαλεκτικόν, τόπου ἐμβολὴ ἐξ ὀνόματος, καθόλου, ὅρκος. Περὶ εἰρωνείας Καὶ εἰρωνεία μέν ἐστι τὸ διὰ τοῦ ἐναντίου τὸ ἐναντίον σημαῖνον, οἷον· ἐκεῖνοι τοίνυ ν , οἷς οὐκ ἐχαρίζοντο οἱ λέγοντες οὐδὲ ἐφίλουν αὐτοὺς ὥσπερ ὑμᾶς οὗτοι νῦ ν , πέντε μὲν καὶ τεσσαράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντω ν.

3 (1t) καὶ πάλιν· νυνὶ δὲ πῶς ἡμῖν ὑπὸ τῶν χρηστῶν τούτων τὰ πράγματα ἔχε ι; ἔτι δὲ καινῶς ἐν τῷ κατὰ Μειδίου ἐφ’ ἑαυτοῦ εἰρωνείᾳ κέχρηται· ἐγὼ δ έ , ὅς—εἴτε τι ς , ὦ Ἀθηναῖο ι , βούλεται νομίσαι μανίαν ( μανία γὰρ ἴσως ἐστὶ τὸ ὑπὲρ δύναμίν τι ποιεῖ ν ) εἴτε φιλοτιμίαν—χορηγὸς ὑπέστη ν . Περὶ ἐπιτιμήσεως Ἐπιτίμησις δέ ἐστιν ὅταν διὰ τῆς πρὸς τοὺς ἀκούοντας ἐπιπλήξεως τινῶν βούληται συμβουλὴν περαίνειν, ὡς ἐν τῷ περὶ τῆς παραπρεσβείας· ὑμεῖς δὲ ἐκλελύσθαι μοι δοκεῖτε καὶ παθεῖν ἀναμένειν τὰ δειν ά , πόρρωθεν δ ’ ὁρῶντες οὐ φυλάττεσθα ι.

4 (1t) καὶ πάλιν οὕτως· ὡς ἔοικε ν , πολύ τι σκότος ἐστὶ πα ρ ’ ὑμῖν πρὸ τῆς ἀληθεία ς . Περὶ παραλείψεως Παράλειψις δέ ἐστιν ὅταν τις τῷ δοκεῖν τινα παραλείπειν λέγῃ ἃ βούλεται, ὡς ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ πρὸς Λεπτίνην· ἐγὼ δ έ , ὅτι μὲν τινῶν κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι τὴν δωρεὰν τῶν ἀδίκων ἐστί ν , ἐάσω · καὶ γὰρ εἴρηται τρόπον τινὰ καὶ ὑ φ ʼ ὑμῶν ἴσως γινώσκετα ι.

5 (1t) καὶ πάλιν πρὸς τὸν Αἰσχίνην· ἤδη γάρ σε ἐρωτ ῶ , πάντα τὰ ἄλλα ἀφεί ς , Ἀμφίπολι ν , Πύδνα ν , Ποτίδαια ν , Ἁλόννησον · οὐδενὸς τούτων μέμνημαι · Σέρριον δὲ καὶ Δορίσκον καὶ τὴν Πεπαρήθου πόρθησιν καὶ ὅσα ἄλλα τοιαῦτα ἡ πόλις ἠδικεῖτ ο , οὐ δ ʼ εἰ γέγονεν οἶδ α. Τῷ τε γὰρ οὕτως εἰπεῖν ἃ βούλεται δεδήλωκε καὶ τῇ παραλείψει τὸ φορτικὸν ἀφῄρηται. Περὶ διαπορήσεως Διαπόρησις δέ ἐστιν ὅταν ὡς διαπορῶν τις ἃ δεῖ εἰπεῖν κἀκεῖνα καὶ ἔτι πλείω λέγῃ, οἷον· ἀλ λ ʼ εἰς τοσοῦτον ἀφῖχθε μωρία ς , ἢ παρανοία ς , ἤ—οὐκ ἔχω τί λέγ ω.

6 (1t) καὶ πάλιν· οὐκ ἀπορῶν δ ʼ ὅ τι χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰπεῖ ν , ἀπορῶ ὅτου πρώτου μνησθῶ · πότε ρ ʼ ὡς ὁ πατήρ σου Τρόμης ἐδούλευε πα ρ ʼ Ἐλπίᾳ τῷ πρὸς τῷ Θησείῳ διδάσκοντι γράμματ α , χοίνικας παχείας ἔχων καὶ ξύλο ν ; ἢ ὡς ἡ μήτηρ σου τοῖς μεθημερινοῖς γάμοις ἐν τῷ κλεισίῳ τῷ πρὸς τῷ Καλαμίτῃ χρωμένη τὸν καλὸν ἀνδριάντα καὶ τριταγωνιστὴν ἄκρον ἐξέθρεψέ σ ε; Ὡς γὰρ ἀπορῶν τί χρὴ εἰπεῖν, πάντα εἴρηκε. Περὶ ἀποστροφῆς Ἀποστροφὴ δέ ἐστιν ὅταν ἀπὸ τῶν δικαστῶν πρὸς τὸν ἀντίδικον ἀποστρέφῃ τις τὸν λόγον, οἷον· μηδὲν οὖν φιλονείκε ι , Λεπτίν η.

7 (1t) καὶ πάλιν· οὓς ἅπαντας ἡ πόλις ὁμοίως τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψε ν , Αἰσχίν η. Κινήσας γὰρ τῇ δόξῃ τῶν παραδειγμάτων τοὺς ἀκούοντας, τότε καὶ τὸν ἀντίδικον κέκληκε. Περὶ προδιορθώσεως Προδιόρθωσις δέ ἐστιν ὅταν ὑποπτεύων προσκρούειν τὸ ῥηθησόμενον παραιτῆται τοὺς ἀκούοντας, οἷον· ἐπεπείσμην δὲ ὑπὲρ ἐμαυτο ῦ , τυχὸν μὲν ἀναίσθητο ν , ὅμως δ ʼ ἐπεπείσμη ν.

8 (1t) καὶ πάλιν· ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκειτα ι , βούλομαί τι καὶ παράδοξον εἰπεῖ ν . καί μο ι , πρὸς Διὸς καὶ θεῶ ν , μηδεὶς τὴν ὑπερβολὴν θαυμάσ ῃ. Εἰ γὰρ καὶ δυσχερὲς ἦν τὸ λεγόμενον καὶ προσέκρουε, παραιτούμενος ἠκούσθη διὰ τὴν ὑπόσχεσιν. Περὶ ἐπιδιορθώσεως Ἐπιδιόρθωσις δέ ἐστιν ὅταν τὸ εἰρημένον ὡς ἐνδεέστερον διορθούμενος ἄλλο ἐπενέγκῃ· ταύτης τοίνυν τῆς οὕτως αἰσχρᾶς καὶ περιβοήτου συστάσεως καὶ κακία ς , μᾶλλον δὲ προδοσία ς.

9 (1t) καὶ πάλιν πρὸς τὸν Αἰσχίνην· ὀψὲ γάρ ποτε—ὀψὲ λέγ ω ; χθὲς μὲν οὖν καὶ πρῴην ἅμα Ἀθηναῖος καὶ ῥήτωρ γέγονε ν. Περὶ ἀποσιωπήσεως Ἀποσιώπησις δέ ἐστιν ὅταν μέλλων λέγειν πρᾶγμα αὐτὸ μὲν ἀποσιωπήσῃ, τὴν δὲ ὑπόνοιαν αὐτοῦ καταλίπῃ, οἷον· ἀλ λ ʼ ἐγὼ μὲν—οὐ βούλομαι δυσχερὲς εἰπεῖν οὐδὲν ἀρχόμενος τοῦ λόγου · οὗτος δὲ ἐκ περιουσίας μου κατηγορε ῖ.

10 (1t) καὶ πάλιν πρὸς τὸν Χαρίδημον· ᾧ μήτηρ μὲν—οὐκ ἐρῶ τίς ἢ πόθεν · οὐδὲν γὰρ δεῖ πλείω τῶν ἀναγκαίων αὐτὸν ἐξετάζεσθα ι. Οὐδὲν γὰρ ἂν εἶπε τοιοῦτον οἷον τῇ ὑπονοίᾳ παρέδωκεν. Περὶ ἠθοποιΐας Ἠθοποιΐα δέ ἐστιν ὅταν φεύγοντες τὸ προσκρουστικὸν τῶν ἐπιτιμήσεων ὡς ὑφ' ἑτέρων προσώπων γινομένας εἰσάγωμεν, ὁποῖόν ἐστι τὸ παρὰ Δημοσθένει· φέρε γά ρ , πρὸς Διό ς , εἰ λόγον ὑμᾶς ἀπαιτήσειαν οἱ Ἕλληνες ὧν νυνὶ παρείκατε καιρῶν διὰ ῥᾳθυμία ν.

11 (1t) καὶ πάλιν· εἶ τ' , ὦ πάντων ἀνθρώπων φαυλότατο ι. πικρῶς γὰρ καθικνεῖται τῶν Ἀθηναίων διὰ τοῦ προσώπου τῶν Ἑλλήνων. Κἀκεῖνα δὲ ἠθοποιΐας τὰ ἠθικὰ σχήματα· ‘ τόδε ἔδει εἰπεῖν καὶ τόδε ἔδει ποιῆσαι ‘. ὅπερ πεποίηκεν Αἰσχίνης ἐπὶ τῷ Δημοσθένει εἰπών· ὃν ἐχρῆ ν , εἰ καὶ μανεὶς ὁ δῆμος ἢ τῶν καθεστηκότων ἐπιλελησμένο ς , ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στεφανοῦν αὐτό ν , παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν · « ἄνδρες Ἀθηναῖο ι , τὸν μὲν στέφανον δέχομα ι , τὸν δὲ καιρὸν ἀποδοκιμάζ ω , ἐν ᾧ τὸ κήρυγμα γίνετα ι». τοῦτο γὰρ τὸ νόημα ἐνὸν ἀπὸ τοῦ ἰδίου προσώπου εἰπεῖν, περιέθηκε τῷ ἀντιδίκῳ. Καὶ Ὀδυσσεὺς παρ' Ὁμήρῳ βουλόμενος τοῖς Ἀχαιοῖς εἰπεῖν ὅτι οὐ φυλάττουσι τὰς ὑποσχέσεις ἃς ὑπέσχοντο τῷ Ἀγαμέμνονι, πρὸς αὐτὸν ἀποστρέφει τὸν λόγον· Ἀτρεΐδη, νῦν δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ πᾶσιν ἐλέγχιστον θέμεναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μερόπεσσι βροτοῖσιν, οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν ἥν περ ὑπέσταν, Ἴλιον ἐκπέρσαντ’ εὐτείχεον ἀπονέεσθαι. Τοῦτο γὰρ ποιήσας προσέκρουσε μὲν οὐδαμῶς τοῖς Ἀχαιοῖς, ἐλεεινὸν δὲ ἀποφαίνει τὸν ὑπ’ αὐτῶν ἐγκαταλειφθέντα, καὶ διὰ τῶν πρὸς τοῦτον λόγων ἐκείνοις ἐπέπληξεν. Περὶ προσώπου ὑποβολῆς Προσώπου δὲ ὑποβολή ἐστιν ὅταν θέλων τις εἰπεῖν τι πρὸς τὸ ἀνεκτότερον ἄλλῳ προσώπῳ τὸν λόγον περιθῇ, οἷον ἐν τοῖς Φιλιππικοῖς· ὡς δὲ ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουο ν , ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθα ι , οὐδένων εἰσὶ βελτίου ς.

12 (1t) Πιστοῦται γὰρ ὡς παρ’ εἰδότος ἀκούσας τὰ λεγόμενα. Μίγνυσι δὲ πολλαχοῦ τήν τε ἠθοποιΐαν καὶ τὴν τοῦ προσώπου ὑποβολήν, ὅταν ἑτέρῳ προσώπῳ περιβάλῃ λόγον. βουλόμενος γὰρ ἐπιτιμῆσαι τοῖς Ἀθηναίοις ὡς εἰς ῥᾳθυμίαν ἐκκλίνασιν, οὐκ ἀφ’ ἑαυτοῦ εἶπεν, ἀλλὰ τοῖς Ἕλλησι περιέθηκε τὸν λόγον· ἐὰν οὖν οἱ Ἕλληνες πέμπωσι πρὸς ὑμᾶς καὶ λέγωσι · « πέμπετ ε , ὦ Ἀθηναῖο ι , πρὸς ἡμᾶς ἑκάστοτε πρέσβεις καὶ λέγετε ὡς ἐπιβουλεύει Φίλιππος ἡμῖν καὶ πᾶσις τοῖς Ἕλλησ ι » καὶ τὰ ἑξῆς. καὶ πάλιν ἐν τῷ πρὸς Λεπτίνην· ἂν δὲ δὴ πέμψας ὡς ἡμᾶς ὁ Λεύκων ἐρωτ ᾷ , τί ἔχοντες ἐγκαλέσαι καὶ τί μεμφόμενοι τὴν ἀτέλειαν αὐτὸν ἀφήρησθ ε , τ ί , πρὸς θεῶ ν , ἐροῦμεν ἡμεῖ ς; Ἐν γὰρ τούτῳ τῷ λόγῳ λίαν ἰσχυρότερον τὸν τρόπον ἐκ τοῦ προσώπου τῶν λεγόντων πεποίηκεν. Περὶ πυσματικοῦ Τὸ πυσματικὸν δὲ σχῆμα ἔργα μὲν ἔχει δʹ· προσοχήν, σαφήνειαν, ἐνάργειαν, ἔλεγχον.

13 (1t) Προσοχὴ μὲν οὖν ἐστιν, οἷον· διὰ τ ί; καὶ πάλιν· τίνος οὖν ἕνεκα ταῦτα λέγ ω; ἐπιστρέφει γὰρ τοὺς ἀκούοντας ἡ τοιαύτη ἐρώτησις. Σαφήνεια δὲ οὕτως, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους· ὁ μὲν τὸν νόμον τιθεί ς , οὕτως · ὁ δὲ τὸ ψήφισμα γράφω ν , πῶ ς; καὶ πάλιν· 〈ποῦ〉 τοῦτο δηλο ῖ ; ἔν τε τῷ προτέρῳ νόμῳ καὶ τούτ ῳ. καὶ πάλιν· ἀλλὰ πῶ ς ; « ὡς ἐν τῷ ἄξονι εἴρητα ι » φησί ν. ᾔδει γὰρ τὴν τῶν νόμων ἐξέτασιν φύσει δυσπαρακολούθητον οὖσαν, σαφήνειαν δὲ [τὸ] δοῦναι τὸ σχῆμα δυνάμενον. Ἐνάργεια δέ ἐστι τὸ τοιοῦτον· πῶς ἂν ὠμότερος συκοφάντης γένοιτ ο; καὶ πάλιν· καὶ τίς ἂν γένοιτο ἀναιδείας ὑπερβολ ή; Ἔλεγχος δέ ἐστι τὸ τοιοῦτον, ὅταν λέγῃ· τί πράττειν ἔδει καὶ ποιεῖν τὴν πόλι ν; καὶ πάλιν· τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἐβούλε τ ’ ἄ ν; καὶ τρίτον εἰς τὸ αὐτό· τί τὴν πόλι ν , Αἰσχίν η , προσήκει ποιεῖ ν , ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν αὑτῷ κατασκευαζόμενον Φίλιππο ν; καὶ τέταρτον· ἤδη γάρ σε ἐρωτ ῶ , πάντα τὰ ἄλλα ἀφεί ς. καὶ πάλιν· πότερον ταῦτα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ ἔλυε τὴν εἰρήνη ν , ἢ ο ὔ ; καὶ πότερον φανῆναί τινα τῶν Ἑλλήνων τὸν ταῦτα κωλύσοντα ποιεῖν αὐτὸν ἐχρῆ ν , ἢ μ ή; οὐδὲ γὰρ ἀνενεγκεῖν τῷ ἀντιδίκῳ συνεχώρησεν, ἀλλὰ τῷ συνεχεῖ τῆς ἐρωτήσεως τὸ ἄπορον τῆς ἀποκρίσεως ἐξελέγχει. Περὶ ἐμφάσεως Ἔμφασις δέ ἐστιν ὅταν μὴ αὐτό τις λέγῃ τὸ πρᾶγμα, ἀλλὰ δι’ ἑτέρων ἐμφαίνῃ, οἷον· τί τὸ κωλῦον ἔ τ ’ αὐτὸν ἔσται βαδίζειν ὅποι βούλετα ι; ἐμφαίνει γὰρ ὅτι κωλύειν αὐτὸν οὐδενὸς βουλομένου τῆς Ἀττικῆς ἐπιβῆναι δυνήσεται.

14 (1t) καὶ πάλιν Ἀπολλόδωρος· ἐγὼ γὰρ ὁμομήτριον ἀδελφὸν ἐμαυτοῦ Πασικλέα νομίζ ω , ὁμοπάτριον δὲ οὐκ οἶδ α. οὔτε γὰρ ἀνειμένην βλασφημίαν ἔχει τὸ εἰρημένον, καὶ ἀκριβῶς τῇ ἐμφάσει πρεσβυτέρα μοιχεία δέδεικται. Περὶ τοῦ ἀντικειμένου Ἀπὸ τοῦ ἀντικειμένου 〈δέ〉 ἐστιν ὅταν μὴ περὶ τοῦ προκειμένου τι εἴπῃ, ἀλλὰ τὸ ἀντικείμενον ἐφ’ ἑτέρου προσώπου, δι’ ἐκείνου τοῦτο σημαίνων, καὶ παρέοικε τῇ ἐμφάσει τοῦτο.

15 (1t) βουλόμενος γὰρ πάλιν εἰπεῖν ἃ ὁ Μειδίας ἔπραττεν ἀπὸ τοῦ ἀντικειμένου αὐτὰ ἐπὶ τὸν Ἰφικράτην εἶπεν· οὐκ ἐβάδιζεν ἐπὶ τὰς τῶν χρυσοχόων οἰκίας νύκτω ρ , οὐδὲ κατερρήγνυε τὰ παρασκευαζόμενα ἱμάτια εἰς τὴν ἑορτή ν , οὐδὲ διέφθειρε διδάσκαλο ν , οὐδὲ χορὸν μανθάνειν ἐκώλυ ε. ταῦτα γὰρ ἀπὸ τοῦ ἀντικειμένου κατὰ τοῦ Μειδίου λέγει. καὶ πάλιν· οὐκ ἐπὶ μὲν τοῖς ἑτέρων ἀγαθοῖς φαιδρὸς ἐγ ώ , γεγηθὼς κατὰ τὴν ἀγορὰν περιέρχομα ι. τοῦτο γάρ που λέγει ὅτι οὗ〈τοι〉 τοιαῦτα πράττουσι. Περὶ τοῦ παρὰ προσδοκίαν Παρὰ προσδοκίαν δ’ ἐστὶν ὅταν, ἄλλο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ἀκροατοῦ προσδεχομένου, ἄλλο μετά τινος χάριτος ἐπενέγκῃ, οἷον· τὰ μέντοι Φιλίππου εὐεργετήματα τοιαῦτα ἔσται · οὔτε τὰ ὑμέτερα ὑμῖν αὐτοῖς ἀποδώσε ι , οὔτε ἐν τῇ οἰκουμένῃ αἱ τιμαὶ ἔσοντα ι.

17 (1t) Περὶ αὐτοσχεδίου Αὐτοσχέδιον δ’ ἐστὶν ὅταν προσποιῆται ἄρτι νενοηκέναι, οἷον· ὃ τοίνυν μεταξὺ λέγων ἐνεθυμήθη ν. καὶ πάλιν· τουτὶ γὰρ αὖ μικροῦ με παρῆλθε ν. Περὶ τοῦ ἀντιθέτου Ἀντίθετον δέ ἐστι τὸ κατὰ διάνοιαν, οὗ καὶ Αἰσχίνης μέμνηται τὸ τοῖς ἐπιβεβουλευμένοις .

18 (1t) .. λέγων. βουλόμενος γὰρ ὁ Δημοσθένης τοῦ Αἰσχίνου τὸ περὶ τὴν Ὀλυνθίαν συμπόσιον μᾶλλον διαβάλλειν, ἐξ ἀντιθέτου προεῖπε τὸ τοῦ Σατύρου [ὁ] περὶ τὰς Ὀλυνθίας αἰχμαλώτους φιλάνθρωπον, διὰ τῆς κατὰ τὸν Σάτυρον ἐπιεικείας εἰς τὴν τοῦ Αἰσχίνου παροινίαν μᾶλλον παροξύνων τοὺς δικάζοντας. Περὶ τοῦ διαλεκτικοῦ Διαλεκτικὸν δέ ἐστιν, ὃ μάλιστα ποιεῖ Δημοσθένης, ὅταν μὴ ἁπλῶς διεξίῃ τὸν λόγον, ἀλλὰ πρὸς πεῦσιν καὶ ἀπόκρισιν συλλογίζηται ἃ βούλεται, ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος.

19 (1t) ἠδύνατο μὲν εἰπεῖν· «οὗτος ὑπὲρ ὑμῶν τὰς εἰσπράξεις οὐχ ὑπέστη, ὃς πολλοὺς πολλάκις μεῖζον τὴν πόλιν ἀδικήσαντας οὐκ ἔκρινεν». ὁ δὲ τῷ διαλεκτικῷ συνελογίσατο τρόπῳ· πότεροι γάρ —φησίν— ⟨μᾶλλον ἀδικοῦσι ν ;⟩ οἱ τὰ τῆς πόλεως κλέπτοντες ἢ οἱ τὰ ἑαυτῶν εἰσενεγκεῖν μὴ δυνάμενο ι ; φαίη τις ἂν ἐκείνου ς . τί πο τ ’ οὖν ὄντων ἐτῶν πλειόνων ἢ λʹ ἐν οἷς πολλοὶ παρὰ τουτοισὶ κέκριντα ι , οὐδενὸς πώποτε ἐξητάσθης κατήγορο ς ; ὅτι ἐκείνοις μὲν συνηδίκει ς , ἀπὸ δὲ τῶν εἰσπραττομένων ὑφηρο ῦ. καὶ ἐν τῷ πρὸς Λεπτίνην· ὀμωμόκατε γνώμῃ δικάσειν τῇ δικαιοτάτ ῃ . τὸ τοίνυν τῆς γνώμης εἰς ἅπαντα ἀνενέγκατε τὸν νόμο ν . ἆρα ὑμῖν δίκαιον εἶναι δοκε ῖ , τοὺς εὐεργέτας τιμᾶ ν ; δίκαιο ν . τί δ έ ; ὁπόσα ἂν λάβῃ τι ς , δίκαιον ἔχει ν ; δίκαιο ν . ταῦτα τοίνυν αὐτοί τε ποιεῖτ ε , ἵνα εὐορκῆτ ε. Ἃ γὰρ ἐνῆν ἁπλῶς εἰπεῖν, ταῦτα πυνθανόμενόν τινα καὶ ἀποκρινόμενον ποιῶν μᾶλλον συνήγαγεν. Περὶ τόπου ἐμβολῆς ἐξ ὀνόματος Τόπου δὲ ἐμβολὴ ἐξ ὀνόματός ἐστιν ὅταν ὄνομα ὑποθεὶς ἐξ αὐτοῦ εἰσάγῃ τὸν τόπον, ὃ πλεῖστον παρ’ αὐτῷ καὶ κάλλιστον.

20 (1t) προθεὶς γὰρ τοῦτο· οὐδὲ θαυμάζω τοῦ τ ’ ἐγώ .. . εἰ μηδὲν ποιοῦντες ἡμεῖς τοῦ πάντα ποιοῦντος ἃ δεῖ περιῆμεν, ἀπὸ τοῦ ῥήματος τόπον ἐποίησεν· ἀλ λ ’ ἐκεῖνο θαυμάζ ω , εἰ Λακεδαιμονίοις ποτὲ ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων ἀντῆρατ ε. καὶ πάλιν προθείς· τὸν δὲ τειχισμὸν τοῦτο ν , ὃν σύ μου διέσυρε ς , καὶ τὴν ταφρείαν ἄξια μὲν χάριτος καὶ ἐπαίνου κρίνω · πῶς γὰρ ο ὔ; εἶτα ἐκ τοῦ κατὰ τὸν τειχισμὸν ὀνόματος ἐπήνεγκεν· οὐ λίθοις ἐτείχισα τὴν πόλι ν , οὐδὲ πλίνθοις ἐγ ώ , οὐ δ ’ ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ · ἀλ λ ’ ἐὰν τὸν ἐμὸν τειχισμὸν θέλῃς σκοπεῖ ν , εὑρήσεις ὅπλα καὶ πόλει ς. Περὶ τοῦ καθόλου Καθόλου δέ ἐστιν ὅταν μὴ ἐπὶ τοῦ προκειμένου εἴπῃ τὸ νόημα ὃ βούλεται, ἀλλ’ εἰς τὸ καθόλου ἀνενεγκών.

21 (1t) οἷον οὐχ αὑτῷ τοὺς δικαστὰς ᾐτήσατο ἐφεῖναι τάξιν ᾗ βούλεται χρήσασθαι, ἀλλὰ τὸ τοῦ ὅρκου φησί, καὶ τοῦτό ἐστι δίκαιον· τὸ τῇ τάξει καὶ τῇ ἀπολογί ᾳ , ὡς βεβούληται τῶν ἀγωνιζομένων ἕκαστο ς , οὕτως ἐᾶσαι χρῆσθα ι. οὐ γὰρ ἴδιον πλεονέκτημα ᾔτησεν, ἀλλ’ ἐβεβαίωσε κοινὸν δικαίωμα. Καὶ ἔστιν ἐν τῷ σχήματι τούτῳ πολλάκις τὴν χρείαν τοῦ νοήματος τηροῦντα τὸ προσκροῦον φυλάττεσθαι. Περὶ ὅρκου [Ὅρκος δ’ ἐστὶν οὗτος] Φαίη δ’ ἄν τις καὶ τὸ τοῦ ὅρκου σχῆμα εἶναι παρ’ αὐτῷ.

22 (1t) τὸ γάρ· οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντα ς , καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένου ς , καὶ τοὺς ἐ π ’ Ἀρτεμισίῳ ναυμαχήσαντα ς , καὶ ... ὅρκος ἐστίν. Τινὲς δέ φασι τοῦτο εἶναι παράδειγμα· οὐ γὰρ ἡμάρτετε —φησίν— ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι, ὥσπερ οὐδὲ οἱ ἐν Μαραθῶνι προκινδυνεύσαντες· καὶ γάρ ἐστιν ὅμοιον τῷ «τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἄρασθαι» τὸ «ἐν Μαραθῶνι προκινδυνεῦσαι». Τὸ μὲν οὖν πρᾶγμα παράδειγμα ἐποίησεν, ἀντὶ δὲ τοῦ εὐθέως εἰπεῖν ἐσχημάτισεν, πρός τε τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λαμπρὸν ἅμα καὶ τὸ ἀξιόπιστον εἰς ὅρκου φαντασίαν μεταβάλλων. Τοσαῦτα μὲν τὰ τῆς διανοίας σχήματα παρὰ Δημοσθένει κατενοήσαμεν, τὰ δὲ τῆς λέξεως ἐκ παραλλήλου καὶ ταῦτα καταμάθωμεν, προειπόντες ᾗ διαφέρουσιν ἀλλήλων.

23 Τούτῳ δὴ μάλιστα φαίη τις ἂν αὐτὰ διενηνοχέναι, τῷ τὰ μὲν τῆς διανοίας σχήματα, κἂν ὑπαλλάξῃ τις αὐτὰ τοῖς ῥήμασιν, ὁμοίως μένειν, τὰ δὲ τῆς λέξεως σχήματα οὐχ οἷόν τε εἶναι φυλάττεσθαι ὑπαλλαττομένης τῆς λέξεως. Ἔστι δὲ ταῦτα· ἀλληγορία, μετάθεσις, ἀναστροφή, μετάληψις, παρονομασία, κλῖμαξ, ἐπαναφορά, ἀντιστροφή, 〈ἐπιμονή〉, ὑπερβατόν, ἀπίσωσις, πλεονασμός, περίφρασις, συζυγία, ἀπὸ κοινοῦ, μεταβολή, ὑποφορά, ἀντίθετον, ἀπόλυτον, ἀσύνδετον, ἔλλειψις. Ἀλληγορία μὲν οὖν ἐστιν ὅταν τῶν κυρίων τι ἑρμηνεύῃ τις ἐν μεταφοραῖς τὸ κύριον σημαίνειν δυναμέναις· πλεῖστον δὲ καὶ ἐναργέστατον παρ’ αὐτῷ τὸ σχῆμα· ἐπὶ τοῦ Μειδίου· τὸ γὰρ ἐ π ’ ἐξουσίαις καὶ πλούτῳ εἶναι πονηρό ν , τεῖχός ἐστι πρὸς τὸ μηδὲν ἐξ ἐπιδρομῆς παθεῖν · ἐπεὶ περιαιρεθείς γε οὗτος τὰ ὄντα οὐδενός ἐστιν ἄξιο ς .

24 νῦν δ ’ οἶμαι τοῦτο προβέβλητα ι. πάσας γὰρ ἐνταῦθα ᾔρησε τὰς τοῦ τείχους εἰκόνας. Ἀναστροφὴ δέ ἐστι (τὸ αὐτὸ καὶ ἐπαναδίπλωσις) ὅταν, ἔνθα πέπαυται τὸ πρῶτον κῶλον, ἐκεῖθεν ἄρχηται τὸ δεύτερον, οἷον· οὐ γὰρ δὴ Κτησιφῶντα μὲν δύναται διώκειν δ ι ’ ἐμ έ , ἐμὲ δ έ , εἴπερ ἐξελέγχειν ἐνόμιζε ν , αὐτὸν οὐκ ἂν ἐγράψατ ο.

25 καὶ πάλιν· δῆλον γὰρ ὡ ς , προκεχειρισμένων καὶ ἑτοίμων ὄντων τῶν ἀγαθῶ ν , ἐμέλλομεν ὑ π ’ ἐκείνου τῆς εἰρήνης γενομένης · γενομένης δὲ τῆς εἰρήνης ... Κάλλος γὰρ τὸ σχῆμα ἐργάζεται. Ἀναστροφὴ δὲ ἄλλη ἐστὶν ὅταν τὰ ὀνόματα μετὰ τῶν ὀνομάτων αὐτὰ ἀναστρέφηται· οὐ γὰρ Αἰσχίνης διὰ τὴν εἰρήνην κρίνετα ι , ο ὔ , ἀλ λ ’ ἡ εἰρήνη δ ι ’ Αἰσχίνην διαβέβλητα ι. καὶ πάλιν· ἐν δὲ τῷ προγράψαι « μηδὲ τὸ λοιπὸν ἐξεῖναι 〈δοῦναι 〉 » 〈ὑμᾶς τὸ δοῦναι ὑμῖν ἐξεῖναι 〉 . πάντα γὰρ εἰς ταὐτὰ ἀναστρέφεται. Ἐπανάληψις δέ ἐστιν ὅταν τὸ αὐτὸ ὄνομα δὶς ἐν τῷ αὐτῷ κώλῳ ᾖ ἢ τῇ αὐτῇ περιόδῳ κατὰ τοῦ αὐτοῦ σημείου τεταγμένον, οἷον· οὐ μόνον κρίνετε τούτους τήμερο ν , ο ὔ.

26 καὶ πάλιν· καίτοι φιλίαν καὶ ξενίαν αὐτὴν ὀνομάζε ι , καὶ νῦν εἶπέ που λέγων · « ὁ τὴν Ἀλεξάνδρου ξενίαν ὀνειδίζων ἐμο ί» . ἐγώ σοι φιλίαν Ἀλεξάνδρο υ ; οὔτε Φιλίππου ξένο ν , οὔτε Ἀλεξάνδρου φίλον εἴποι μ ’ ἂν ἐγώ σ ε. Ἐνέργειαν τὸ σχῆμα ἐργάζεται. Τὴν μέντοι ἐπανάληψιν παλιλλογίαν Καικίλιος ὀνομάζει, οἷον· μιαρό ν , μιαρὸν τὸ θηρίον, καί· πονηρό ν , 〈πονηρὸν〉 ὁ συκοφάντης, καί· ὦ τέκν α , τέκν α, καί· ὦ γάμο ι , γάμο ι. καὶ ὁ Δημοσθένης· ἀλ λ ’ οὐκ ἔστι ν , 〈οὐκ ἔστιν〉 ὅπως ἡμάρτετ ε , τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον ἀράμενο ι. Οἱ μὲν οὖν πολιτικοὶ κατ’ ἀρχὰς χρῶνται ταῖς ἀναλήψεσι καὶ τῇ παλιλλογίᾳ, Ὅμηρος δὲ καὶ ἐπὶ τέλει ἐχρήσατο εἰπών· τοῦ δ’ ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν, εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ’ αἴθωνι σιδήρῳ. ἐπήνεγκε γὰρ τοῦτο. Παρονομασία δ’ ἐστὶν ὅταν, προειρημένου τοῦ κυρίου, παρονομάσῃ τις αὐτοῦ τὴν μεταφοράν, οἷον· ἂν δ ’ ἀναλώσας λάθ ῃ , συνανάλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάρι ν.

27 καὶ πάλιν· εἰ μὴ τοὺς τὰ μηχανήματα ἐπιστήσοντας εἰρήνην ἄγειν φήσετε, εἶτα ἐπήγαγεν· εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἱστάντ α . Τοῦτο μὲν οὖν τὸ σχῆμα τῆς ὀνομασίας βαρύτερόν τε καὶ λαμπρότερόν ἐστι, τὸ δ’ ἄλλο εἶδος χαριέστερον, ὃ παρὰ γράμμα γίνεται, ὡς ἐκεῖνο τὸ ἐπὶ τοῦ Διοπείθους· « μέλλει πολιορκεῖ ν» , « τοὺς Ἕλληνας ἐκδίδωσι ν» · μέλει γάρ τινι τούτων τῶν τὴν Ἀσίαν οἰκούντω ν , Ἑλλήνων λέγ ω. κἀκεῖνο δὲ παρονομασία τὸ παρὰ τῷ Θουκυδίδῃ· ἀλ λ ’ ἢ τούτους μεταπέμπειν δέο ν , ἢ ἄλλην μὴν ἐλάττω στρατείαν ἐπιπέμπειν, καὶ πάλιν· τί ἄλλο ἐβούλευσαν οὗτο ι , καὶ οὐκ ἀπέστησα ν; καὶ παρὰ Δημοσθένει· σύλλογοι καὶ λόγοι παντοδαπο ί, καὶ πάλιν· πρῶτον μὲν Ἀμφίπολι ν , πόλιν ὑμετέρα ν. Δοκεῖ δὲ τοῦτο τὸ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρονομασίας κάλλος ἐργάζεσθαι. Κλῖμαξ δέ ἐστιν ὅταν, εἰς πολλὰ κῶλα ἑνὸς ἐνθυμήματος διαιρουμένου, ἕκαστον κῶλον ἄρχηται ἀπὸ τοῦ ἐν τῷ προηγουμένῳ κώλῳ τελευταίου.

28 μετενήνεκται δὲ τὸ ὄνομα ἀπὸ τῶν ἀναβαινόντων τὰς κλίμακας· ὥσπερ γὰρ ἐκείνοις τὰ τελευταῖα πρῶτα γίνεται κατὰ τὴν τῶν ποδῶν μετάθεσιν, οὕτω καὶ ἐν τῷ σχήματι τούτῳ τὰ τῶν πρώτων κώλων τελευταῖα τῶν ἐπιφερομένων ἀρχὴ γίνεται. σαφέστερον δ’ ἔσται τοῖς παραδείγμασιν· οὐκ εἶπον μὲν ταῦτ α , οὐκ ἔγραψα δέ · ἢ ἔγραψα μέ ν , οὐκ ἐπρέσβευσα δέ · οὐκ ἐπρέσβευσα μέ ν , οὐκ ἔπεισα δὲ Θηβαίου ς. καὶ τό· Ἥφαιστος μὲν δῶκε Διὶ Κρονίωνι ἄνακτι, αὐτὰρ ἄρα Ζεὺς δῶκε διάκτορι Ἀργεϊφόντῃ· Ἑρμείας δὲ ἄναξ δῶκε Πέλοπι πληξίππῳ, αὐτὰρ ὁ αὖτε Πέλοψ δῶκ’ Ἀτρέι, ποιμένι λαῶν· Ἀτρεὺς δὲ θνήσκων ἔλιπεν πολύαρνι Θυέστῃ, αὐτὰρ ὁ αὖτε Θυέστ’ Ἀγαμέμνονι λεῖπε φορῆναι. Τινὲς δὲ νομίζουσι τοῦτο τὸ σχῆμα τὸ αὐτὸ εἶναι τῇ ἐπαναδιπλώσει, ἠγνοήκασι δὲ ὅτι ἡ μὲν ἀναδίπλωσις ἐν δύο κώλοις γίνεται, ἡ δὲ κλῖμαξ ἐν πολλοῖς, καὶ ὅτι πλήθους ἔμφασιν ἐργάζεται. Ἐπαναφορὰ δέ ἐστιν ὅταν δύο ἢ πλείω κῶλα ἢ κόμματα ἀπὸ τῆς αὐτῆς λέξεως ἄρχηται, οἷον· ὅταν ἐπὶ κόρρη ς , ὅταν κονδύλοι ς.

29 καὶ πάλιν· μέχρι τούτου Τιμόλαος ἀπώλεσε Θήβας · μέχρι τούτου Εὔδικος καὶ Σῖμος οἱ Λαρισαῖο ι. Ἐνέργειαν τὸ σχῆμα καὶ λαμπρότητα ἐργάζεται. Κἀκεῖνο ἐπαναφορά· τί οὖ ν , ὦ ταλαίπωρ ε , συκοφαντεῖ ς ; τί λόγους πλάττει ς ; τί σαυτὸν οὐκ ἐλλεβορίζεις ἐπὶ τούτοι ς; καὶ πάλιν· τίς οὖν ὁ ταῦτα συγκατασκευάσας αὐτ ῷ ; τίς ὁ τὰς προφάσεις ταύτας δού ς; καὶ ὁ Πλάτων ἐν Νόμοις· ὅταν σοί τι προσπίπτῃ τῶν τοιούτων πρᾶγμ α , εἰ μὴ ἐπὶ τὰς ἀποδιοπομπήσει ς , ἐπὶ ἀποτροπαίων ἱερὰ θεῶν ἱκέτης ἴθ ι , ἐπὶ τὰς τῶν λεγομένων ὑμῖν ἀνδρῶν συνουσία ς. καὶ παρὰ τῷ ποιητῇ· ἐν δ’ ἔρις, ἐν δὲ κυδοιμὸς ὁμίλεον, ἐν δ’ ὀλοὸν κῆρ. Ἔστι δ’ ὅτε διὰ μακροτέρων ἐπαναφέρεται τὸ αὐτὸ μόριον, οἷον· ἡ γὰρ ἐμὴ πολιτεί α , ἧς οὗτος κατηγορε ῖ , ἀντὶ μὲν τοῦ Θηβαίους μετὰ Φιλίππου εἰς τὴν Ἀττικὴν συνεμβαλεῖ ν , ὃ πάντες ᾤοντ ο , με θ ’ ἡμῶν παραταξαμένους κωλύειν ἐκεῖνον ἐποίησεν · ἀντὶ δὲ τοῦ ἐν τῇ Ἀττικῇ γενέσθαι τὸν πόλεμο ν , ἑπτακόσια στάδια ἐπὶ τοῖς τῶν Βοιωτῶν ὁρίοις γενέσθαι · ἀντὶ δὲ τοῦ τοὺς λῃστὰς ἄγειν ἡμᾶς ἐπὶ τῆς Εὐβοία ς , ἐν εἰρήνῃ τὴν Ἀττικὴν ἐκ τῆς θαλάττης εἶναι πάντα τὸν πόλεμον · ἀντὶ δὲ τοῦ τὸν Ἑλλήσποντον Φίλιππον ἔχει ν , λαβόντα τὸ Βυζάντιο ν , τοὺς Βυζαντίους πολεμεῖν με θ ’ ἡμῶν πρὸς ἐκεῖνον ἐποίησ ε. καὶ τοῦτο δὲ εἶδος ἐπαναφορᾶς· καὶ μὴ ὅτι πολλὰ μὲν ἂν ἔδωκε χρήματα Φιλιστείδη ς , ὥστε ἔχειν Ὠρεό ν , πολλὰ 〈δὲ〉 Κλείταρχο ς , ὥστε ἔχειν Ἐρέτρια ν , πολλὰ δὲ Φίλιππο ς , ὥστε εἶναι ἐ φ ’ ὑμᾶς αὐτῷ … καὶ τοῦτο πάλιν ἐπαναφορά· ἐδίδασκες γράμματ α , ἐγὼ δὲ ἐφοίτων · ἐτέλει ς , ἐγὼ δὲ ἐτελούμην · ἐγραμμάτευε ς , ἐγὼ δὲ ἐκκλησίαζο ν. Ἀντιστροφὴ δέ ἐστι (τὸ ἀντικείμενον τῇ ἀναφορᾷ) ὅταν εἰς τὴν αὐτὴν λέξιν τὰ κῶλα ἀπαντᾷ· πράττεταί τι τῶν [ μὲ ν ] ὑμῖν συμφέρειν δοκούντω ν ; ἄφωνος Αἰσχίνης · ἀντέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδε ι ; πάρεστιν Αἰσχίνη ς , ὥσπερ τὰ ῥήγματα καὶ τὰ χάσματα Ἐνέργειαν ἅμα καὶ 〈κάλλος τὸ〉 σχῆμα ἐργάζεται.

31 Ἐπιμονὴ δέ ἐστιν ὅταν τις πλείω ῥήματα ὀρθὰ ἀλλήλοις ἐπιβάλλῃ, ὡς ἐν τῷ ὑπὲρ Φορμίωνος πρὸς τὸν Ἀπολλόδωρον· ἄγει ς , ἐλαύνει ς , διώκει ς , συκοφαντεῖ ς. Δείνωσιν τὸ σχῆμα ἔχει. Καὶ τὸ παρ’ Αἰσχίνῃ· ψῆφον αἰτε ῖ , ὅρκον αἰτε ῖ , νόμον αἰτε ῖ , δημοκρατίαν αἰτε ῖ. Τὸ δ’ ὑπερβατὸν διχῶς γίνεται, ἢ κατὰ παρένθεσιν ἢ κατὰ ἀναστροφήν.

32 Καὶ κατὰ ἀναστροφὴν μέν, ὡς ἐν τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν, οἷον· τὴν τοῦ διαπράξασθαι ταῦτ α , ἃ μηδεὶς πώποτε ἄλλος Μακεδόνων βασιλεὺ ς , δόξαν ἀντὶ τοῦ ζῆν καλῶς ᾑρημένο ς. ἔστι γὰρ τὸ ἑξῆς· τὴν δόξαν τοῦ διαπράξασθα ι. Κατὰ παρένθεσιν δέ, ὡς ἐν τῷ κατ’ Ἀνδροτίωνος· ἀλ λ ’ ἐπὶ τοῦ Δεκελικοῦ πολέμου ( τῶν γὰρ ἀρχαίων ἕ ν , ὃ πάντες ἐμοῦ μᾶλλον ἐπίστασθ ε , ὑπομνήσ ω ) πολλῶν καὶ δεινῶν συμβάντων … Ἰσχὺν δὲ καὶ κάλλος ἐργάζεται τὸ σχῆμα. Παρίσωσις δὲ γίνεται μὲν καὶ κατὰ τὴν ἀρχήν, οἷον· ὅτε τοίνυν τοῦ θ ’ οὕτως ἔχε ι , προσήκει προθύμως (ὃ καὶ ὁμοιόαρκτον λέγεται), καὶ κατὰ τὸ τέλος, οἷον· ἐθέλειν ἀκούει ν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

33 Κάλλος δὲ τὸ σχῆμα ἐργάζεται, ἐάν τις αὐτῷ ἀνεπαχθῶς χρῆται. Τῶν δὲ κατὰ τὸ τέλος παρισώσεων τὸ μέν ἐστιν ὁμοιόπτωτον, τὸ δὲ ὁμοιοτέλευτον. Καὶ ὁμοιοτέλευτον μέν, οἷον τὸ Ἰσοκράτους ἐν Ἑλένῃ· τοῦ μὲν ἐπίπονον καὶ φιλοκίνδυνον τὸν βίον ἐποίησ ε , τῆς δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν κατέστησε ν· τὸ γὰρ ἐποίησε καὶ κατέστησεν ἰσοσύλλαβόν ἐστι καὶ ὅμοιον τῷ τόνῳ. καὶ τὸ παρ' Αἰσχίνῃ· καὶ οὐ τὸ δυστύχημα ὀνειδίζ ω , τὸν δὲ τρόπον ἐξετάζ ω· ἐν γὰρ τούτοις κώλοις ὁμοία ἡ τελευτὴ γέγονεν. Ὅταν δὲ εἰς ὄνομα λήγωσιν αἱ περίοδοι ἢ τὰ κῶλα, τὰ δ' ὀνόματα ἔχῃ τὰς πτώσεις ὁμοίας, τότε ὁμοιόπτωτον λέγεται, οἷον τὸ Ἰσοκράτους· τῆς ὑπὸ μὲν Ἀθηναίων καὶ Λακεδαιμονίων στρατηγουμένη ς , ὑπὲρ δὲ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀθροιζομένη ς , ἐπὶ δὲ τὴν τῶν βαρβάρων πονηρίαν πορευομένη ς. Πλεονασμὸς δέ ἐστι, 〈οἷον〉 · τί δεῖ πράττειν καὶ ποιεῖν τὴν πόλι ν; Ἐνέργειαν τὸ σχῆμα ἔχει ἐν τῷ πυσματικῷ τιθεμένην.

34 Συνωνυμίαν ὀνομάζει τὸ σχῆμα Καικίλιος ὅταν κατὰ τοῦ αὐτοῦ πράγματος καὶ κατὰ τοῦ προκειμένου δύο λέξεις γενηθῶσιν. Τοῦτο δὲ πλεονασμὸν ὀνομάζει Ἀψίνης· τότε δὴ καὶ κατὰ τὸν καιρὸν ἐκεῖνο ν· θάτερον γὰρ τούτων εἰπεῖν ἐξήρκει. καὶ ὁ Δημοσθένης· ἐφοβήθησα ν , εἶ 〈ασ〉 α ν , οὐδεὶς ἥψατ ο. καὶ πάλιν ἐν τοῖς Φιλιππικοῖς· καὶ γινώσκεται μὲν ὑπὸ τῶν Κορινθίων καὶ πα ρ ' Ὀλυνθίοις πρότερο ν , οὐκ ἀγνοεῖται ὑπὸ Θετταλῶ ν. κατὰ γὰρ τοῦ αὐτοῦ πράγματος τὰ αὐτὰ σημαινόμενα τέθειται. Περίφρασις δ' ἐστὶν ὅταν τῆς ἁπλῆς καὶ εὐθείας γινομένης ἑρμηνείας εὐτελοῦς οὔσης, μεταβαλόντες κόσμου ἕνεκα ἢ πάθους ἢ μεγαλοπρεπείας ἄλλοις ὀνόμασι καὶ πλείοσι τῶν κυρίων καὶ ἀναγκαίων τὸ πρᾶγμα ἑρμηνεύσωμεν, οἷόν ἐστι τὸ Δημοσθενικόν· ἠτίμωται τῇ ῥύμῃ τῆς ὀργῆς 〈καὶ τῆς ὕβρεωσ〉 τῆς Μειδίο υ.

35 τὸ γὰρ ἁπλοῦν ἦν «ἠτίμωται ὑπὸ Μειδίου», τὸ δὲ τῇ ῥύμῃ τῆς ὀργῆς καὶ τῆς ὕβρεως παρείληπται πάθους ἕνεκα καὶ ἀξιώματος. Ταῖς δὲ περιφράσεσι σπανίως χρῶνται οἱ πολιτικοί, πλεονάζει δὲ ἐν αὐταῖς ὁ Θουκυδίδης καὶ ὁ Πλάτων καὶ οἱ ποιηταί, οἷον παρὰ μὲν Ὁμήρῳ· βίη Ἡρακλείη, ἀντὶ τοῦ Ἡρακλέος, καὶ· ἱερὴ ἲς Τηλεμάχοιο, ἀντὶ τοῦ «Τηλέμαχος»· παρὰ δὲ Πλάτωνι· ὦ παῖ Κλεινίου, ἀντὶ τοῦ «ὦ Ἀλκιβιάδη»· παρὰ δὲ Θουκυδίδῃ· καὶ οἱ μὲν ὕπνον ᾑροῦντο, ἀντὶ τοῦ «ἐκάθευδον»· παρὰ δὲ Ἡροδότῳ· ἐνέσκηψεν ἡ θεὸς θήλειαν νόσον, ἀντὶ τοῦ «ἐποίησεν ἀνδρογύνους ἢ κατεαγότας». Συζυγία δ' ἐστὶν ὅταν δύο προθεὶς ἀντικείμενα ἀλλήλοις ἑκατέρῳ τὸ προσῆκον ἐπενέγκῃ, ὡς ἐν τῷ ἐννάτῳ τῶν Φιλιππικῶν, οἷον· ὁ δῆμος ὁ τῶν Ὠρειτῶ ν , ἀντὶ τοῦ τῷ μὲν βοηθεῖ ν , τοὺς δ ' ἀποτυμπανίσα ι , τοῖς μὲν οὐκ ὠργίζετ ο , τὸν δ ' ἐπιτήδειον ταῦτα παθεῖν ἔφ η.

36 καὶ πάλιν· τὸ τοίνυν ψήφισμα τουτ ί , τῷ μὲν ἡγουμένῳ τῶν Κερσοβλέπτου πραγμάτων ἀσφάλειαν διδό ν , τοῖς δὲ τῶν ἑτέρων βασιλέων στρατηγοῖς φόβον καὶ δέος μή τινα αἰτίαν σχῶσι παριστά ν , τοὺς μὲν ἀσθενεῖ ς , τὸν δὲ ἰσχυρὸν καθίστησι ν. οὐ γὰρ ἑκάτερον κατέλυσε καθ' αὑτό, ἀλλὰ δι' ἀμφοτέρων ὁ λόγος κεχώρηκε. Κάλλος δὲ τὸ σχῆμα ἐργάζεται. Τὸ δὲ ἀπὸ κοινοῦ οὕτως· καὶ τῷ μὲν Εὐαίωνι τῷ τὸν Βοιωτὸν ἀποκτείναντι πολλὴν συγγνώμην ἔχ ω .

37 δοκοῦσι δέ μοι καὶ τῶν δικασάντων τότε 〈πολλοί 〉 . ἀπὸ κοινοῦ· συγγνώμην ἔχει ν. Εὐειδὲς τὸ σχῆμα. Μεταβολὴ δ' ἐστὶν ὅταν μὴ τὰς πτώσεις μόνον, ἀλλὰ καὶ τὰ ῥήματα μεταβάλλῃ, οἷον· τίς γὰρ συμμαχία σοῦ πράξαντος γέγονε τῇ πόλε ι ; ποῖαι τριήρει ς ; ποῖοι νεώσοικο ι ; τίς ἐπισκευὴ τειχῶ ν ; ποῖον ἱππικό ν; Καὶ τοῦτο δὲ ὁμοίως γοργὸν καὶ εὐειδὲς τὸ σχῆμα.

39 Ὑποφορὰ δέ ἐστιν ὅταν μὴ ἑξῆς προβαίνῃ ὁ λόγος, ἀλλ' ὑποθείς τι ἢ ὡς παρὰ τοῦ ἀντιδίκου ἢ ὡς ἐκ τοῦ πράγματος ἀποκρίνηται πρὸς αὑτόν, ὥσπερ δύο ἀντιλεγόμενα πρόσωπα μιμούμενος, οἷον· ἐγὼ τοίνυν λογίζομαι · τίνος ὁ Φίλιππος πρῶτος γέγονε κύριος μετὰ τὴν εἰρήνη ν ; « Πυλῶν καὶ τῶν ἐν Φωκεῦσι πραγμάτω ν» . τί οὖ ν ; πῶς τούτοις ἐχρήσατ ο ; « ἃ Θηβαίοις συμφέρε ι , καὶ οὐχ ἃ τῇ πόλε ι , προείλετο πράττει ν» . τί δήποτε [ ἄ ν] ; ὅτι πρὸς πλεονεξία ν ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἶμα ι , καὶ τὸ πάντα ὑ φ ’ ἑαυτῷ ποιήσασθαι ... καὶ πάλιν· τί ποιήσομε ν , ἐὰν ἐπὶ Χερρόνησον ἴ η ; « κρινοῦμεν Διοπείθην νὴ Δί α» · καὶ τί τὰ πράγματα ἔσται βελτί ω ; « ἀλ λ ’ ἐνθένδε βοηθήσομεν αὐτοῖ ς» · ἂν δὲ ὑπὸ τῶν πνευμάτων μὴ δυνώμεθ α ; « ἀλλὰ μὰ Δία οὐχ ἥξε ι» · καὶ τίς ἐγγυητής ἐστι τούτο υ; Ἔχει δὲ 〈τὸ〉 σχῆμα καὶ κάλλος καὶ ἐνέργειαν, καὶ ὅταν εἴπῃ· ἐπέδωκα · ἐπαινοῦμα ι , ο ὔ , μὰ Δί α , οὐκ ὤ ν , ὧν ἐπέδωκ α , ὑπεύθυνο ς . ἦρχον · καὶ δέδωκά γε εὐθύνας ἐκείνω ν , οὐχ ὧν ἐπέδωκ α . « νὴ Δί α , ἀλ λ ’ ἀδίκως —φησίν— ἦρξα ς» . εἶτα παρώ ν , ὅτε με εἰσήγαγον οἱ λογιστα ί , οὐ κατηγόρει ς; Ἀσύνδετον δέ ἐστιν, ᾧ πολλαχῶς χρῆται ὁ Δημοσθένης, κατ’ ὄνομα καὶ κατὰ κῶλον 〈καὶ κατὰ κόμμα〉 καὶ κατὰ τόπον.

40 Κατ’ ὄνομα μέν· Ἀμφίπολι ν , Πύδνα ν , Ποτίδαια ν , Ἁλόννησο ν· ἐξ ὧν πλήθους ἔμφασις γίνεται. Κατὰ κῶλον δέ· ἴσασιν Εὐαίωνα πολλοὶ τὸν Λαοδάμαντος ἀδελφόν ... εὐειδὲς τὸ τοιοῦτο. Κατὰ κόμμα δέ· ὅταν ἐπὶ κόρρη ς , ὅταν κονδύλοι ς , ταῦτα κινε ῖ , ταῦτα ἐξίστησ ι. ταῦτα δείνωσιν ἔχει καὶ ἐνέργειαν. Κατὰ τόπον ἀσυνδέτως· πολλὰ ἂν εἰπεῖν ἔχοιεν Ὀλύνθιο ι , ἃ τότε εἰ προείδοντ ο , οὐκ ἂν ἀπώλοντο · πολλὰ ἂν Ὠρεῖτα ι , πολλὰ Φωκεῖ ς. καὶ πάλιν προθείς· ἀλλὰ τί τούτων ὄφελος τῇ πόλε ι; [πάλιν] ἐπήγαγεν εἰς τὸ ἀσύνδετον· ἕως ἂν σῴζηται τὸ σκάφο ς , τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντα ἄνδρα ἐφεξῆς προθύμους εἶνα ι. Λαμπρότητα δὲ καὶ φαντασίαν τοῦτο τὸ σχῆμα παρέχεται ἄνευ συνδέσμων ἐλευθέρᾳ φωνῇ τοῦ λόγου προϊόντος ταῖς τῶν τόπων ἐμβολαῖς. Τῷ σχήματι κέχρηται ἢ κατ’ ὄνομα εἰς πλῆθος, ἢ κατὰ κῶλον εἰς κάλλος, ἢ κατὰ κόμμα εἰς ἐνέργειαν, ἢ κατὰ τόπον εἰς λαμπρότητα. Κἀκεῖνο ἀσύνδετον· ὁρῶ δὲ αὐτὸν τὸν Φίλιππο ν , πρὸς ὃν ἡμῖν ὁ ἀγώ ν , τὸν ὀφθαλμὸν ἐκκεκομμένο ν , τὴν [ δ ὲ ] κλεῖν κατεαγότ α , τὴν [ δ ὲ ] χεῖρα καὶ τὸ σκέλος πεπηρωμένο ν. Τὸ δὲ ἀντίθετον ἄνω μὲν εἴρηται τὸ τῆς διανοίας, τὸ δὲ τῆς λέξεως διχῶς γίνεται· ἢ κατὰ κῶλον, ἢ κατὰ λέξιν.

41 Κατὰ κῶλον μέν· παρὰ τὰς τῶν χορηγῶν δαπάνας μικρὸν ἡμέρας μέρος ἡ χάρις τοῖς θεωμένοις ἐστ ί , παρὰ δὲ τὰς εἰς τὸν πόλεμον παρασκευῶν ἀφθονίας πάντα τὸν χρόνον ἡ σωτηρία πάσῃ τῇ πόλε ι. ἀντίκειται γὰρ τοῖς κώλοις ἡ ἑρμηνεία. Τὸ δὲ κατὰ λέξιν· ἐδίδασκες [ γὰ ρ ] γράμματ α , ἐγὼ δ ’ ἐφοίτων · ἐτέλει ς , ἐγὼ δὲ ἐτελούμην · ἐγραμμάτευε ς , 〈ἐγὼ δὲ ἐκκλησίαζο ν . ἐτριταγωνίστεισ〉 , ἐγὼ δ ’ ἐθεώρουν · ἐξέπιπτε ς , ἐγὼ δ ’ ἐσύριττο ν. Ἐνέργειαν δὲ καὶ κάλλος ἅμα τὸ σχῆμα ἔχει. Ἔλλειψις δέ ἐστιν ὅταν ὁ λέγων ἐλλείπῃ λέξιν ἣν παρ’ αὐτὰ ἔδει προσθεῖναι τῷ νοήματι, οἷον· θέμα δεινὸν καὶ ἐλεεινό ν· ἐλλείπει γὰρ τὸ «ἐστί».

42 κἀκεῖνο δ’ ἔλλειψις· πρῶτον μέ ν , ὦ Ἀθηναῖο ι , τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαι ς· ἐλλείπει γὰρ «ταῖς θεαῖς». καὶ πάλιν· ὥσπερ ἄν τις ἰατρὸς ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰσιὼν μὴ λέγοι μηδὲ δεικνύοι δ ι ’ ὧν ἀποφεύξονται τὴν νόσο ν , ἐπειδὰν δὲ τελευτήσειέ τις αὐτῶν καὶ τὰ νομιζόμενα ἐ π ’ αὐτῷ φέροιτ ο , ἀκολουθῶν ἐπὶ τὸ μνῆμα διεξίοι · « εἰ τὸ καὶ τὸ ἐποίησεν ἄνθρωπο ς , οὐκ ἂν ἀπέθανε ν» . « ἐμβρόντητ ε , εἶτα νῦν λέγει ς; » καὶ πάλιν· εἶπον τοίνυν ὡς μὲν ὑπαρχόντων Θηβαίων Φιλίππῳ λίαν θορυβουμένων ... ἐλλείπει γὰρ τὸ «φίλων καὶ συμμάχων». Τὴν δὲ διατύπωσιν παρῆκεν Ἀψίνης, Καικίλιος δὲ ἔθηκεν ἐν τοῖς τῆς διανοίας σχήμασιν.

43 Ἡ δὲ διατύπωσις ὁτὲ μὲν ὑπομιμνήσκει τῶν γεγενημένων ἐνεργειῶν καὶ ἑκάστων ἐξαριθμουμένων τῶν μερῶν· ἀλλὰ μὴν τὸν τῇ πόλει συσταθέντα τότε θόρυβον ἴστε μὲν ἅπαντες · μικρὰ δὲ ἀκούσατέ μου τὰ ἀναγκαιότατ α . ἑσπέρα μὲν γὰρ ἤδη καὶ τὰ ἑξῆς. Καὶ πάλιν ἡ διατύπωσις ἐπὶ τὴν θέαν ἄγει τῶν οὐχ ἑωραμένων, ὡς παρ’ Αἰσχίνῃ πολλὰ ἂν εὕροι τις. Τρίτος ὅρος διατυπώσεως· ὅταν τὰ μὴ γεγονότα διατυπούμενοι εἰσάγωμεν καθ’ ὑπόθεσιν—οἷον· ‘ τί ἂν ἐγένετ ο ; ‘ καί· ‘ τί ἂν ἐπράχθ η ; ‘ —ὡς δεινὰ καὶ φοβερά. Τὸ δὲ διασυρμοῦ σχῆμα παρῆκεν Ἀψίνης, Καικίλιος δὲ αὐτὸ ἐνέθηκε.

44

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τοῦτο δέ ἐστι τὰ μεγάλα μικρὰ ποιῆσαι καὶ ἐξευτελίσαι, οἷον· ἀλ λ ’ ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἄ ν , εἰ μὴ τοῦτο ἐγράφ η. καί· πάνυ γε · οὐ γὰρ παρὰ τοῦτο εὐχερῆ γέγονε τὰ τῶν Ἑλλήνων πράγματ α , εἰ τουτὶ τὸ ῥῆμ α , ἀλλὰ μὴ τοῦτο διελέχθην ἐγ ώ , ἢ δευρὶ τὴν χεῖρ α , ἀλλὰ μὴ δευρὶ παρήνεγκ α. Τὸ δὲ σχῆμα τῆς ἐπανόδου ἐστὶ παρὰ τῷ Καικιλίῳ.

45 Γίνεται δὲ αὕτη ὅταν ὀνόματα δύο καὶ ῥῆμα προθέντες ἐπανίωμεν ἐπ’ αὐτὰ καὶ ἐξηγώμεθα αὐτά, ὡς μήπω νοουμένου τοῦ λεχθέντος, οἷον εἴ τις λέγοι, ὅτι «Νικίας καὶ Ἀλκιβιάδης ἐπὶ Σικελίας τὴν στρατείαν διέφθειραν», εἶτα ἐπανιὼν ἐπ’ αὐτὰ λέγοι· «Ἀλκιβιάδης μὲν εὐτελῆ τὸν πόλεμον καταλιπών, Νικίας δὲ ἀργῶς στρατηγήσας». χρῆται δὲ ἐπανόδῳ καὶ Θουκυδίδης ὁσάκις ἂν εἰς ἀσάφειαν ἐκ τῶν ὑπερβατῶν ἐκπίπτῃ. Καὶ τὸ τῆς ἀφαιρέσεως σχῆμα ὁ Καικίλιος εἰσάγει· λέξεως γὰρ ἀφαίρεσιν τοῦτό φησι καὶ λέγει κεῖσθαι παρὰ τῷ Θουκυδίδῃ· 〈ἐ〉 φθάραται γὰρ [ ἄνδρε ς ] Ἀθηναῖοι (ἐφθαρμένοι εἰσί) καί· τετάχαται ( 〈τεταγμέναι εἰσίν〉 ).

46 [πεποίηνται καὶ εἴρηνται] Καὶ τὸ τῆς ἀλλοιώσεως σχῆμα εἰσάγει ὁ Καικίλιος, καί φησιν αὐτὴν γίνεσθαι κατ’ ὀνόματα καὶ πτώσεις καὶ ἀριθμοὺς καὶ πρόσωπα καὶ χρόνους.

47 Καὶ ὀνόματα μὲν ἀλλοιοῦσιν ἀντὶ τοῦ ἄρρενος τὸ θῆλυ ἢ τὸ οὐδέτερον παραλαμβάνοντες, ἢ τῷ ἄρρενι ἀντ’ ἀμφοῖν χρώμενοι, κατὰ τὸ πληθυντικόν, οἷον παρὰ μὲν Θουκυδίδῃ· πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει, ἀντὶ τῶν Ἑλλήνων, καί· τὸ φιλότιμον ἀγήρω μόνον, ἀντὶ τοῦ «ἡ φιλοτιμία»· οὐδέτερον γὰρ μετείληφεν ἀντὶ τοῦ θήλεος ... Κατὰ δὲ τοὺς ἀριθμοὺς ἀλλοίωσις, ὡς παρ’ Εὐπόλιδι ἐν Δήμοις· ἅπασα γὰρ ποθοῦμεν ἡ κλεινὴ πόλις, καὶ παρὰ Δημοσθένει· ὑμεῖς ὦ βουλ ή. Κατὰ δὲ τὰ πρόσωπα ἀλλοιώσεις, ὡς παρ’ αὐτῷ· τοῖς γὰρ δικασταῖς διαλεγόμενος μετατίθησιν ἑαυτὸν ἐπὶ τὸν ἀντίδικον· ὅ ς , ὦ μιαρώτατε πάντω ν , κεκλεισμένης σοι τῆς παρρησίας ... καὶ πάλιν ἀπὸ τοῦ ἀντιδίκου μετάγει ἐπὶ τοὺς δικαστὰς λέγων, οἷον· τῶν ἀνδρῶν τῶν ἀγαθῶν μέμνησαι · καὶ καλῶς ποιεῖ ς . οὐ μέντοι δίκαιόν ἐστι ν , ὦ Ἀθηναῖοι ... καὶ παρ’ Εὐριπίδῃ· φεύγεις ἀποστραφείς με, τὰ δ’ Ἀγαμέμνονος φροῦδα; εἶτα μεταστρέφει τὸν λόγον ἐπὶ τὸν ἀποθανόντα· ἄφιλος ἦσθ’ ἄρ’, ὦ πάτερ, πράττων κακῶς. Τοὺς δὲ χρόνους ἀλλοιοῦσιν, ὅταν τοῖς ἐνεστῶσιν ἀντὶ τῶν παρῳχημένων χρῶνται, οἷον παρὰ Δημοσθένει· καὶ ὅτι ταῦτα ἀληθῆ λέγ ω , τοὺς ὁρῶντας ὑμῖν μάρτυρας παρέξομαι, ἀντὶ τοῦ «τοὺς ἑωρακότας». ὁποῖόν ἐστι καὶ τὸ παρὰ τῷ Εὐριπίδῃ ἐν τῇ Ἀνδρομέδᾳ· ὁρῶ δὲ πρὸς τῆς παρθένου θοινάματα, ἀντὶ τοῦ «εἶδον». καὶ ὁ Θουκυδίδης· οἱ μὲν πολλοὶ τῶν ἐνθάδε εἰρηκότων ἐπαινοῦσι τὸν προστιθέντα τῷ νόμῳ τὸν λόγον τόνδ ε, ἀντὶ τοῦ «ἐπήνεσαν». Καὶ τὴν παρεμβολὴν εἰσάγει Καικίλιος σχῆμα λέξεως, κέχρηται δὲ παραδείγματι τῷ παρὰ Θουκυδίδῃ· οἱ δὲ Κορίνθιοι προσκαθεζόμενοι ( ἔστι δὲ ἰσθμὸς τὸ χωρίο ν ) ἐπολιόρκουν τὴν πόλι ν.

48 καὶ ὁ Ἡρόδοτος· Κροῖσος ἦν Λυδὸς μὲν γένο ς , παῖς δὲ Ἀλυάττε ω , τύραννος δὲ ἐθνῶν τῶν ἐντὸς Ἅλυος ποταμο ῦ , ὃς ῥέων ἀπὸ μεσημβρίης μεταξὺ Σύρων καὶ Παφλαγόνων ἐξίει πρὸς βορέην ἄνεμον εἰς τὸν Εὔξεινον καλεόμενον πόντο ν. ἐνταῦθα παρεμβέβληται τὰ τοῦ ποταμοῦ. καὶ Εὐριπίδης· Δαναός, ὁ πεντήκοντα θυγατέρων πατήρ, Νείλου λιπὼν κάλλιστον εὐκταίης ὕδωρ, ὃς ἐκ μελαμβρότοιο πληροῦται ῥοὰς Αἰθιοπίδος γῆς, ἡνίκ’ ἂν τακῇ χιών, τεθριππεύοντος ἡλίου κατ’ αἰθέρα, ἐλθὼν κατ’ Ἄργος ᾤκις’ Ἰνάχου πόλιν. οἱ γὰρ τρεῖς περὶ τοῦ ποταμοῦ στίχοι περιττοί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org